ἑαυτὴν τοῖς ἐλέγχοις ταράττῃ, οὐκέτι τῆς ὀσμῆς ὁ νοῦς τῶν ὑπερκοσμίων ἀγαθῶν παραχωρεῖται αἰσθάνεσθαι, ἀλλ' εὐθὺς εἰς ἀμφιβολίαν μερίζεται, θερμῇ μὲν κινήσει διὰ τὴν προλαβοῦσαν πεῖραν τῆς πίστεως ὀρεγόμενος, μηκέτι δὲ αὐτῆς ἐπιλαβέσθαι ἐν αἰσθήσει τῆς καρδίας διὰ τῆς ἀγάπης δυνάμενος διὰ τοὺς νυγμούς, ὡς ἔφην, τῆς ἐλεγχούσης συνειδήσεως. Πλὴν καθαρίσαντες ἑαυτοὺς θερμοτέρᾳ προσοχῇ μετὰ πλείονος πείρας ἐν θεῷ τοῦ ποθουμένου τευξόμεθα.

κδ'.

Ὥσπερ πρὸς τὰ φαινόμενα ἡμᾶς καλὰ βιαίως πως αἱ τοῦ σώματος προτρέπονται αἰσθήσεις, οὕτω πρὸς τὰ ἀόρατα ἡμᾶς ἀγαθὰ ἡ τοῦ νοῦ εἴωθε χειραγωγεῖν αἴσθησις, ὅταν τῆς θείας γεύσηται χρηστότητος. Ἕκαστον γὰρ τῆς οἰκείας συγγενείας πάντως ὀρέγεται· ἡ μὲν ψυχὴ ὡς ἀσώματος τῶν οὐρανίων καλῶν, τὸ δὲ σῶμα ὡς χοῦς τῆς ἐπιγείου τροφῆς. Τῆς ἀΰλου οὖν εἰς πεῖραν ἐλευσόμεθα ἀπλανῶς αἰσθήσεως, εἴπερ τὴν ὕλην τοῖς πόνοις λεπτύνομεν.

κε'.

Μίαν μὲν εἶναι αἴσθησιν φυσικὴν τῆς ψυχῆς αὐτὴ ἡ τῆς ἁγίας ἡμᾶς γνώσεως ἐκδιδάσκει ἐνέργεια, εἰς δύο λοιπὸν διὰ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417108427/21 UNIVERSITÄT LEIPZIG